ΠΡΑΚΤΙΚΑ ΤΗΣ ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ

## ΣΥΝΕΔΡΙΑ ΤΗΣ 2ΑΣ ΜΑΡΤΙΟΥ 1944

### ΠΡΟΕΔΡΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΜΑΝΤΟΥ

---

### ΠΡΑΞΕΙΣ ΚΑΙ ΑΠΟΦΑΣΕΙΣ ΤΗΣ ΑΚΑΔΗΜΙΑΣ

---

Τὸν ἀσθενοῦντα πρόεδρον κ. ***Κ. Ἄμαντον*** ἀνεπλήρωσεν ὁ ἀντιπρόεδρος κ. ***Γ. Μπαλῆς***, τὸν δὲ ἀπουσιάζοντα Γραμματέα τῶν Πρακτικῶν ὁ κ. ***Ἰ. Καλιτσουνάκης***.

### ΚΑΤΑΘΕΣΙΣ ΚΛΕΙΣΤΩΝ ΦΑΚΕΛΩΝ

Κατόπιν σχετικῶν αἰτήσεών των γίνονται δεκτοί, ὅπως κατατεθῶσιν ἐν τῷ ἀρχείῳ τῆς Ἀκαδημίας οἱ ὑποβληθέντες κλειστοὶ φάκελοι τῶν:

α.— Ἀχ. Π. Σιμοπούλου (ἀρ. πρωτ. 18308),

β.— Ἀρ. Κουφουδάκη (ἀρ. πρωτ. 18307), καὶ

γ.— Μ. Σ. Λουκίδου (ἀρ. πρωτ. 18324).

---

### ΑΝΑΚΟΙΝΩΣΙΣ ΑΚΑΔΗΜΑΪΚΟΥ

MANUSCRIPTS.—The Apotherapeutic of Theophilos according the Laurentian Codex, plut. 75, 19*, *by* ***Aristotle P. Kousis.***

Continuing my study and text investigation of the still unpublished works of the ancient greek physicians, found in the codices of different libraries, I visited Florence shortly before the outbreak of the war with the view of examining in the Laurentian library the codices existing there, particularly the one containing the "Apotherapeutic" of Theophilos, related to my study "on the Byzantine xenons" and the one containing the gynaecological work of Metrodora.

---

* Ἡ Ἀποθεραπευτικὴ τοῦ Θεοφίλου κατὰ τὸν Λαυρεντιανὸν κώδικα, plut. 75, 19.

Although the Laurentian library was closed during that summer vacation, it was nevertheless possible for me to do my work in another city-library (Bibliotheca Marucelliana), where, under several others, these two codices were kindly sent to me for use. I should like to mention, that to be sure I asked also for further information about the two mentioned codices from the medico-historical Institut in Berlin. Its director, the eminent Univ. Professor Mr Carl Diepgen, was kind enough to assure me in his reply, that both works were still unpublished and that nothing concerning them had been published in the meantime.

The work under the name of Theophilos exists only in one codex of the XIV century in pluteus 75, 19 of the mentioned library. It bears the title: "Ἀποθεραπευτικὴ Θεοφίλου, συλλέξαντος ταύτην ἐκ διαφόρων ξενωνικῶν βίβλων„. The work is quoted under the same heading by Bandinus in the



codex-catalogue of this library. The one under the designation of "Θεραπευτικὴ„ in the "Handschriften der antiken Aerzte„[1] does not seem to be correct.

In the codex as author, as it is said, appears Theophilos without any other particulars or remarks, and it is generally attributed to Theophilos Protospatharios or the Monk, the wellknown byzantine author of several important medical works in the 9th century, i.e. «περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς, λόγοι ε'», «περὶ σφυγμῶν», «περὶ οὔρων καὶ διαχωρημάτων», «σχόλια εἰς Ἱπποκράτους ἀφορισμούς», «περιτομὴ τοῦ περὶ διαφορᾶς πυρετῶν [Γαληνοῦ]» etc.

It does not seem necessary to me to deal today with the question as to whether Theophilos cited in the Codex is really the same man who bore the honourable title of "Protospatharios„ or was a pseudonymous. I intend to examine this point on some other occasion. It is valuable, however, that I should add a few words in connection with the title "Apotherapeutic„ of this work. The term ἀποθεραπεία was first used in the ancient gymnasia. Oribasius writes that the last part of a well-performed physical

[1] Vol. II, 101.

exercise is called «᾿Αποθεραπεία»[1]. That is why massaging of the bodies after gymnasic exercises was called «ἀποθεραπευτικὴ τρῖψις». Later on, this term passed over to medicine, having the same meaning it has today, i.e. the cure after diseases, and by extension the entire therapeutic procedure[2].

In the codex Theophilos' work begins on fol. 82v and ends on 149, where the text is separated from the following treatise «περὶ οὔρων» by a red line. On page 151 begins a new chapter under the heading «θεραπεῖαι σὺν Θεῷ ἁγίῳ συλλεγεῖσαι ἀπὸ διαφόρων βιβλίων», then follows a pharmacological treatise: «περὶ δυνάμεως βοτανῶν», in alphabetical series, beginning from Α (ἀβρότονον) and finishing at Ω (ὤκιμον). One meets there the sentence. «Τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις», that one might take, although quite incorrectly, mean the end of Theophilos' work.

The description of the treatise of Theophilos is as follows:

f. 82v. ᾿Αρχὴ σὺν Θεῷ ἁγίῳ τῆς ἀποθεραπευτικῆς Θεοφίλου, συλλέξαντος ταύτην ἐκ διαφόρων ξενωνικῶν βίβλων.

Καὶ πρῶτον μὲν περὶ διαφορᾶς πυρετῶν καὶ διαγνώσεως αὐτῶν.

Περὶ ἠπιάλου καὶ ἀνεκθερμάντου ῥίγους

῞Οτι μέν, ἀσήπτου καὶ παρὰ φύσιν ὕλης τῆς φλεγματικῆς μενούσης, ῥῖγος πάντως ἄνευ τινὸς αἰσθητῆς θερμασίας ἐργάζεται· ἀρχομένης δὲ τοῦ σήπεσθαι, ἀνάγκη καὶ τὸν πυρετὸν ἀνάπτειν, κατὰ τὸ ποσὸν τῆς ἐπιφερομένης ὕλης τῆς τὸ πῦρ ἀναπτούσης· πάντως μὲν οὖν εἰ μέν ἐστι οἷον ἥμισυ πεπεμμένη, ὀλίγον ἀνεκίνησε τὸν φλογμόν, εἰ δὲ πολὺ ὡς καὶ τῇ φύσει ἄστεκτον f. 83r εἶναι, τύχης οἱ πάσχοντες δέονται ὑψηλῆς ἢ κρείττονος ἄλλης δυνάμεως εἰς τὸ σωθῆναι· περιψύχονται γὰρ οἱ τοιοῦτοι τὰ ἄκρα, ὡς ὑπὸ τρώγλην ἀσπίδος, ἐμφωλεύοντος ἔσω τοῦ πυρός· ὅθεν καὶ τῆσδε τῆς ἐπωνυμίας ἐδράξαντο, τῆς χρήσεως συμφωνούσης, πεφύκασι γὰρ τὰ ὀνόματα ἐξημμένα τῇ φύσει εἶναι, ὡς ὅπλα τῶν φησίν· ἠπίαν τινὰς καὶ πραεῖαν ὑποτυφόμενος τὴν ἀλέαν, ὡς δίκην ἁλὸς ἠπίας καὶ αὐτῆς φαινομένης, χαλεπῆς οὖν κατὰ τὰς ἀρχὰς αὐτῆς ὑπαρχούσης ἕπεσθαι συμβαίνει ὁ ὄλεθρος τῷ τοιούτῳ πυρετῷ δι' αἰτίαν οἶμαι τοιαύτην. ἐπέρχεται μὲν οὖν τοῦτο καὶ τοῖς ἀθληταῖς· οὐκ εἶχε γὰρ ὁ λόγος πρόχειρόν τι παράδειγμα, ἐπιφέρειν μὲν οὖν κατὰ παντὸς τοῦ σώματος τὰ ὅπλα, φορητὸν τὸ ἐκ τούτων βάρος νομίζουσι· πολλάκις δὲ περιτιθέντες τὰ πάντα δεκτικῷ τινι, οὐ δύνανται προσάρασθαι δυσβάστακτον ὂν τὸ φορτίον· ταὐτόν τε πεπόνθασι οἱ τοιούτῳ πυρετῷ ἁλισκόμενοι· φλέγονται γὰρ ἔσωθεν μόνον τὴν περικειμένην χώραν, τὴν περὶ τὰ σπλάγχνα· καὶ τὸ πανωλέθριον ἐκεῖνο πῦρ ὡς ἀλλότριον, καὶ κινδυνῶδες τὸ φίλιον καὶ ζωοποιόν, τὸ ἐν ἡμῖν φιλανθρώπως ἐμφωλεῦον ἀποσβέσαι πῦρ· ἔστι δὲ καὶ οὗτος ὁ πυρετὸς τοῦ γένους τῶν ἀμφημερινῶν, ὡς διὰ τῆς ὁμοίας ὕλης αὐξανόμενος, 83v χρήζει δὲ καὶ αὐτὸς τῆς ὁμοειδοῦς θεραπείας ὡς ψυχρᾶς ὕλης ὤν. ἁρμόζει μὲν οὖν τούτῳ ὀπὸς κυρηναϊκὸς καὶ τὸ διὰ τριῶν πεπέρεων καὶ τὰ διὰ καστορίου σκευαζόμενα βοηθήματα· οὐχ ἧττον δὲ καὶ ὅσοι τυγχάνουσιν ὄντες οἱ τυφώδεις καὶ οἱ λειπρινοὶ λεγόμενοι πυρετοί, τοῦ λεγομένου πυρετοῦ.

---

[1] ῞Απαντος γυμνασίου καλῶς ἐκτελουμένου, τὸ τελευταῖον μέρος ἀ π ο θ ε ρ α π ε ί α καλεῖται. Oeuvres d'Oribase, t. I p. 482, 486, 655.

[2] In this Laurentian codex is also another treatise under the title «᾿Αποθεραπευτικά» (p. 5) attributed to Koiranos, a Persian King, which remain to be examined.

περὶ συνεχῶν πυρετῶν

Συνεχεῖς ὁμογενεῖς εἰσι πυρετοὶ τῶν διαλειπόντων ἑκάστῳ, τριταίῳ μὲν ἀκριβὴς καῦσος, ἀμφημερινῷ δὲ ὁ καθ' ἑκάστην ἡμέραν παροξυνόμενος εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος· οὕτω δὲ καὶ τεταρταίῳ, ὁ διὰ τετάρτης. ὅ τε γὰρ ἀκριβὴς καῦσος, πάντα τὰ ἄλλα φυλάττων τὰ τοῦ ἀκριβοῦς τριταίου γνωρίσματα, μόνῳ τῷ μὴ μετὰ ῥίγους εἰσβάλλειν μήτε εἰς ἀπυρεξίαν παύεσθαι διενήνοχεν· ὅ τε καθ' ἑκάστην ἡμέραν παροξυνόμενος, ὅμοια πάντα ἔχει γνωρίσματα τοῖς ἀκριβέσιν ἀμφημερινοῖς, τὸ μὴ παύεσθαι δὲ εἰς ἀπυρεξίαν. διαφέρει τοῦ ὁμογενοῦς ἀμφημερινοῦ· κατὰ ταῦτα δὲ καὶ ὁ διὰ τετάρτης παροξυνόμενος εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος ὁμογενής ἐστι τῷ τεταρταίῳ· συνεχὴς μὲν οὖν πυρετός, ὁ εἰς ἀπυρεξίαν πρὶν τελέως λυθῆναι μὴ παυόμενος. ὅταν δὲ μηδὲ παρακμή τις φαίνηται, τοῦ γένους μέν ἐστι καὶ οὗτος τῶν καυσωδῶν· ὀξύτατα δὲ αὐτοῦ διενήνοχεν.

περὶ συνόχων πυρετῶν

Τῶν συνόχων πυρετῶν οἱ μὲν γένους καὶ οἱ δὲ αἵματός εἰσιν, ὁτὲ μὲν ζέσαντος μόνον, ὁτὲ δὲ καὶ σαπέντος τῇ ἐμφράξει, δι' ὅπερ ὁ παροξυσμὸς αὐτῆς, ἀπ' ἀρχῆς ἄχρι τέλους, εἷς ἐστι. Διαφέρει δ' οὐ μικρῶς ὁ συνεχὴς τοῦ συνόχου. ὁ μὲν γὰρ συνεχής ἐστιν, ὃς ἂν εἰς ἀπυρεξίαν τινὰ ἀμυδρὰν ἐρχόμενος· ὁ δὲ σύνοχος εἷς ἐστι ἀπ' ἀρχῆς ἄχρι τέλους· σημεῖα δέ, σφυγμοὺς ἔχουσι σφοδροὺς καὶ μεγίστους καὶ ταχεῖς καὶ πυκνοὺς καὶ ὁμαλοὺς καὶ δακνώδεις· οὖρα δὲ τῶν κατὰ φύσιν οὐ πάνυ ἀπολειπόμενα· ἴασις δέ ἐστιν ἡ μέχρι λιποψυχίας αἵματος διὰ φλεβοτομίας κένωσις, οἱ δὲ τοιοῦτοι οὕτως πυρέττοντες καὶ μὴ φλεβοτομηθέντες εἰς ἔσχατον ἥκουσι κίνδυνον· εἰ δὲ κωλυθῶμεν τοῦτο πράττειν, τοῖς ἄλλοις χρῆσθαι βοηθήμασι, τοῖς ἐκφράττουσι τὸ πλῆθος καὶ κενοῦσι καὶ πραΰνουσι τὸ ζέον τοῦ πυρετοῦ. ὅταν δέ ποτε ἐπ' αὐτῶν ἴδῃς τὰ τῆς πέψεως τῶν χυμῶν σημεῖα καὶ μήτε ἐν κυρίῳ μορίῳ φλεγμονή τις ἢ ὄγκος οἰδηματώδης ἢ σκιρρώδης ᾖ, μήτε τι μόριον ψυχρὸν εἰς αὐτὸ κατασκήψει, τὴν βλάβην θαρρῶν, δίδου ψυχρὸν καὶ μάλιστα εἰ ψυχροπότης ὁ κάμνων εἴη.

Περὶ καυσώδους πυρετοῦ.

Τῷ καυσώδει πυρετῷ συμπτώματα παρέπεται τάδε· γλῶσσα ξηρὰ καὶ παχεῖα καὶ μέλαινα, δῆξις γαστρὸς καὶ ὑποχωρήματα ὠχρὰ καὶ δίψα σφοδρὰ καὶ ἀγρυπνία· ποτὲ δὲ καὶ παραφροσύνη. διδόναι τοίνυν τούτοις χρή | πᾶσιν ἄφθονον μελίκρατον καὶ τὸν χυλὸν τῆς πτισάνης· ἐμψύχει γὰρ οὕτως ἱκανῶς καὶ ὑγραίνει καὶ ἀδίψους πεπίστευται φυλάσσειν τοὺς κάμνοντας, ἑφθήν τε θριδακίνην δοτέον καὶ τὴν τρώξιμον· ἐν ταῖς προσφοραῖς δὲ τοῦ ψυχροῦ σκοπῶμεν μὴ αἰφνίδιον ποιεῖν πλείστου ψυχροῦ δόσει· μόνον γὰρ ἡ φύσις καταπολεμεῖται τῇ τοσαύτῃ προσβολῇ, ἀλλὰ τῇ ἀμετρίᾳ καὶ καταβάλλεται· ὀλίγῃ δὲ χρώμενοι τῇ δόσει καὶ συχνότερον ἐθεραπεύσαμεν. σαφηνείας δὲ ἕνεκεν καὶ ἐπὶ λαύρων ὑετῶν ἐθεασάμεθα οὐ μόνον οὐ πιαινόντων τὴν γῆν καὶ παρασυρόντων μᾶλλον, τῶν δὲ ὀλίγων τὰ ἐναντία συμβαίνουσι· πιαίνουσι γὰρ ἐκεῖνοι καὶ τὸ κατάξηρον τῆς γῆς ἠρέμα προσεπιτέγγουσι.

Περὶ ἑκτικῶν πυρετῶν.

Ἴδιον δὲ ἑκτικοῦ πυρετοῦ, τὸ μετὰ τὴν τροφὴν ἐπαύξειν τὴν θερμασίαν δίκην ἀσβέστου ὅμοιόν τι γινόμενον· αὕτη μὲν δευομένη ὕδατι, ἅμα τὴν ἐγκεκρυμμένην αὐτῇ εἰς τὸ προῦπτον ἀνακαλεῖται θερμότητα· οὐδένα δὲ οἶμαι λανθάνει ἐν ποίαις ὕλαις ἀνάπτεται ὁ τοιοῦτος πυρετός· τριῶν γὰρ ὄντων τὸν ἀριθμόν, ἡ μὲν ἑτέρα στερεά ἐστιν, ἥτις ἐκκαιομένη πέφυκεν ἀνάπτειν τὸν λεχθέντα πυρε-



Two pages from the Cod. Laur. plut. 75, 19.

τόν, ἡ θάτερα δὲ ἡ τῶν χυμῶν τῶν διαφόρων σῆψις, ἡ δὲ ἑτέρα ἡ οἷς κουφοτέρα καὶ ταχυτέρα τῶν ἄλλων καὶ ἀλλοιουμένη καὶ κινουμένη. διττὸν δέ ἐστι | τὸ εἶδος τούτων. οἱ μὲν γὰρ ἐπὶ καυσώδεις πυρετοὺς ὡς τὰ πολλὰ γίνονται, ὡς τῷ μηκισμῷ δαπανωμένης τῆς ὑγρότητος τοῦ σώματος ἢ καὶ μελλούσης ἔτι συχνῆς· οἱ δὲ ἔτι μενούσης τῆς ὑγρότητος γινόμενοι, τὸ σῶμα τῆς καρδίας αὐτὸ καταλαμβάνοντες, ἐντεῦθεν ἀνάπτονται. κατάλοιποι δέ εἰσιν, ὅταν ἐξ ἀρχῆς εὐθέως εἰσβάλλωσι, τὴν πρώτην γένεσιν ὁμοίαν τοῖς ἐφημέροις ποιησάμενοι· τούτοις μὲν οὖν χαλεπόν ἐστιν ἰᾶσθαι· τοὺς δὲ ἐξ αὐτῶν εἰς μαρασμὸν ἀφικνουμένους, ἀδύνατον. ὁ μὲν δὴ μαρασμῷ συνεμπίπτων πυρετὸς ἑκτικός, ἑτοιμότατός ἐστι γνωσθῆναι· ὀφθαλμούς τε γὰρ κοίλους ἀμέτρως θεάσει καὶ λήμας κατ' αὐτοὺς φαινομένας ξηράς· ἀπολωλός τε τῆς χρόας αὐτῶν τὸ ζωτικὸν ἄνθος· μύουσιν ὡς τὰ πολλά, ἀλλ' οὐχ ὑπνώττουσι· συμπίπτουσί τε οἱ κρόταφοι. Ἐμψύχειν οὖν σπουδαίως παντὶ τρόπῳ χρὴ τοὺς ἑκτικοὺς πυρετούς, πρὶν ἂν εἰς μαρασμὸν ἐμπέσωσι τελευτήσαντες. Τοὺς γὰρ ἀκριβῶς μαρανθέντας, μηδ' ἐπιχειρήσωμεν ἰᾶσαι· εἰ δὲ καὶ τοῦτο τολμήσωμεν πολλοῖς ἂν τρόποις, τὸν ἄνθρωπον ἀπολέσωμεν. τὸ δὲ ψῦχον αὐτοὺς διττόν ἐστιν, ἢ φύσει ἢ ἐπίκτητον. φύσει μέν, τὸ πινόμενον, ἐπίκτητον δὲ τὸ ἔξωθεν ἐπιτιθέμενον· ὅπερ καὶ δεύτερον φαίνεται εἶναι τοῦ φύσει. τοῦτο μὲν γὰρ ἀμέσως ψύχει τὸ σῶμα, τοῦτο δὲ διὰ μέσου τινός.

f. 85 Περὶ λοιμώδους πυρετοῦ.

f. 87 Τί ἐστι μίσυ.—Περὶ τοῦ οἰσοφάγου.

87β Ὁποῖοι οἱ σπληνικοί· «οἷς φλεγμαίνοντες οἱ σπλῆνες, εἰς τὸ κατὰ φύσιν οὐκ ἀποκαθίστανται· εἰ δὲ φλεγμαίνουσιν ἐπ' αὐτοῖς παραμένει ἡ σκληρία, ὥστε καὶ τὰς νόσους ῥευματίζεσθαι· ἀλλάσσεται αὐτοῖς καὶ ἡ κατὰ φύσιν χροιὰ τοῦ σώματος.—Τί ἐστι σκίρρος.

88 Θεραπεία σπληνικῶν.—ἕτερον ἐπίθεμα.—ἄλλο.

88β ἄλλο.—ὅροι πυρετοῦ·—ἄλλως.—ὅπως πυρετὸς γίνεται: «ὅταν τὸ αἷμα πλεονᾶσαν ἐν ταῖς φλεψὶ καὶ μὴ δυνάμενον στέγασθαι ἐν αὐταῖς, κατέρχεται τῇ συνεχείᾳ ταῖς ἀρτηρίαις».

89 Ἐν ποίῳ μορίῳ ὁ πυρετὸς καὶ εἰ φείδεταί τινος.—Γένος ἢ εἶδος ὁ πυρετός.—Περὶ δυνάμεως αὐτοῦ καὶ ποιότητος.

89β Θεραπεία εἰς πυρέττοντας.

90β Ἐπίθεμα χαλαστικὸν ληξιπύρετον.

91 Περὶ τροφῆς πυρέττοντος· «Ἡ δὲ τροφὴ αὐτοῦ ἔστω, σφοδροῦ μὲν ὄντος τοῦ πυρετοῦ, χυλὸς πτισάνης· ψίχαι, δαμάσκηνα, κεράσια, τρέμουσα, θεισόρροφον, ἀερόγαλα μετὰ χυλαρίου, θριδακίνη ἤτοι μαϊούλιον· ὑγραίνει γὰρ καὶ ψύχει καὶ ὕπνον ἐπιφέρει· καὶ σταφυλὴν τὴν ἀετόνυχον, εἰ δ' οὐκ ἔστι τὴν χρυσῆν λεγομένην».

92β Ἀετίου, περὶ κεφαλαλγίας.

93 ἄλλο· ἄλλο· ἕτερον, ἕτερον.—Γαληνοῦ. Περὶ κοιλιακῶν.—Ἑρμηνεία θεραπείας.—θεραπεία, εἰ ψυχρὰ τὰ κενούμενα.

94 Ἐπίθεμα Κοσμᾶ ἀκτουαρίου.—Ἐπίθεμα Ρωμανοῦ.—«μαστίχην, λίβανον, ἀλόην, στυπτηρίαν, σμύρναν $\overline{αα}$ οὐγ. μιᾶς, μυρσίνης ξηράνας καὶ λειώσας καὶ κοσκινίσας οὐγ. β΄., ἕνωσον τοῖς προρρηθεῖσι ξηρίοις. εἶτα βαλὼν καὶ κρίθινον ἄλευρον καὶ ἑνώσας, ἔχε εἰς χαρτίον· καὶ ὅταν μέλλῃς ἰατρεύειν, βάλε μέλιτος εἰς τρυβλίον καὶ ὄξους καὶ ἂς ἑψηθῇ ἕως οὗ παστελλώσῃ καὶ τότε βάλε τὰ ξηρία καὶ ἀναλαβὼν ἰάτρευε καὶ ἐπάνω θὲς στυπεῖον καὶ πανὶν καὶ φάσκιωσον καὶ ἐπικείσθω μέχρις οὗ ἀπολύσει.—Περὶ δυσεντερίας.

94β Ἐκ τοῦ Παύλου. Περὶ αἱματηρᾶς δυσεντερίας.

95 Βοήθημα.—Πρὸς αἱμορραγίαν διὰ ῥινός.—ἑτέρα θεραπεία δυσεντερικῶν.

95β Κοκκία κοιλιακά.—Κατάπλασμα.—Κοκκία δυσεντερικά.

96 ἄλλο. ἕτερον. ἄλλο.—Ἐπίθεμα κοιλιακόν. «Ἀκακίας, κηκίδων ὀμφάκων, βαλαντίων ῥοᾶς αα οὐγ. α'., ῥόδων α', φοίνικας ἀποβρέξας καὶ λειοτριβήσας χρῶ.—Γαληνοῦ. Περὶ σκοτωματικῶν.

96β Ἑρμηνεία.—Ἕτερον Ἀετίου.—Θεραπεία Παύλου.

97 Τοῦ αὐτοῦ ἀπόζεμα.—Ἀπόζεμα ἕτερον Παύλου, Περὶ ἰσχιάδος.

97β Ἐκ τῶν ἀφορισμῶν: «Ὁκόσοισοι ἐνοχλουμένοις χρονίως τὸ ἰσχίον ἐξίσταται, τουτέοισι φθίνει τὸ σκέλος καὶ χωλοῦνται».—Θεραπεία.

98 Τὸ τῶν καταγματικῶν. Ἄλλο. Νεφριτικοί.—Ἀφορισμός: «Νεφρῖτις ἐστι φλεγμονὴ νεφροῦ, ποτὲ δὲ καὶ δυσοσμίας ἰνωδῶν ἀποκρίσεων ἢ ψαμμωδῶν καὶ αἵματος ὀλίγου».

98β Θεραπεία.—Ἄλλη.

99 Συμπτώματα ἐπὶ τῶν κωλικῶν καὶ πόθεν τὸ πάθημα.

99β Θεραπεία.

100 Ἀπορία: «διατί ἐπὶ τῶν κωλικῶν φλεγματώδεις ἔμετοι γίνονται, ἐκ δὲ τῶν νεφριτικῶν χολώδεις; Λύσις: «ἐπὶ μὲν τῶν κωλικῶν τὰ ἐμούμενα φλεγματώδη καὶ διεφθαρμένα, ὡς ἀπεψίας προηγουμένης, ἐπὶ δὲ τῶν νεφριτικῶν φλεγματώδη καὶ φυσώδη καὶ χολώδη διὰ τὴν ἀσθένειαν...».—Σημεῖα εἰλεοῦ.—θεραπεία.

100β Πυρία.—ἄλλο.—Πόθεν. ἄλλο.

101 Ὅροι· τί ἐστι πλευρῖτις, Γαληνοῦ. «Ἡ γὰρ κατ' εὐθὺ τοῦ πάσχοντος πλευροῦ φλεβοτομία, τὴν ὠφέλειαν ἐναργέστατα ἐνεδείξατο πολλάκις· εἰ δὲ μετὰ διαρροίας ὁ πυρετός, οὐ χρήζει τινὸς ἄλλης κενώσεως, κἂν μὴ κατὰ χρόνον ἢ τοῦ πλήθους κένωσις γένηται. Ὅσοι γὰρ τῶν ἰατρῶν τὴν φλεβοτομίαν ἢ τὴν γαστέρα κινεῖν ἠβουλήθησαν, ἔτι μᾶλλον ὀξεῖς κινδύνους ἐπήνεγκαν τοῖς πάσχουσιν».—Ἄλλος.—Σημεῖα.—Θεραπεία.

101β Ἄλλο.—Ἕτερον.—Περὶ βηχικῶν.

102 Πόθεν ὁ βὴξ γίνεται. Τί ἐστι βήξ; «ἔστι ἐρεθισμὸς τοῦ πνεύμονος ἐνοχλουμένου ὑπὸ πολλῆς ὑγρότητος».—ἄλλως.—Θεραπεία.

102β Ὅροι. Περὶ πνεύμονος. Σημεῖα περιπνευμονικῶν.

103 Θεραπεία—Περὶ ἀναγωγῶν τοῦ αἵματος.

103β Θεραπεία.

104 Περὶ ἐμπυήματος. Ἐκ τοῦ Δυναμεροῦ: «ὅσοι ἐν τῷ θώρακι ἀποστήματος γενομένου, διαπυήσαντος καὶ ῥαγέντος πύον ἀνάγεται μετὰ βάρους καὶ πόνου καὶ βηχός, καὶ τὸ σῶμα ἰσχναίνει καὶ ἀδυνατεῖ, τούτους ἐμπυϊκοὺς καλοῦσι».—Θεραπεία.

104β Ὅροι· περὶ φθίσεως. «φθίσις ἐστὶν ἕλκωσις θώρακος καὶ πνεύμονος καὶ φάρυγγος, ὥστε βὴξ παρακολουθεῖ καὶ πυρετὸς ἀβληχρὸς καὶ τοῦ σώματος σύντηξις. διαφέρει μὲν οὖν σύντηξις, φθίσεως, φθοῆς...».

105 Ἐκ τοῦ δυναμεροῦ. Περὶ φθίσεως καὶ ἐμπυήματος.

105β Ἐκ τῶν ἀφορισμῶν.—ἄλλως: «ἀπὸ φθίσεως ἐχομένου, διάρροια ἐπιγιγνομένη θανάσιμον».—θεραπεία.

106 Ἄλλο.—Εἴλιγμα βηχικόν.

106β Ἄλλο, ἄλλο, ἄλλο.—Περὶ ἰκτέρου.

107 Ἄλλο. Ἱπποκράτους θεραπεία. Σύγχρισμα ἢ λιβανωτίς.

108β Περὶ περιόδου. «Περίοδος μὲν οὖν ἐστιν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ

αὐτὸ ἀποκατάστασις· τύπος δὲ ἡ ἰδέα καὶ ὁ χαρακτὴρ τοῦ νοσήματος».—Περὶ δακνωδῶν πυρετῶν.

109β Οὐ τεμεῖν, ὁ ἱδρώς.—Περὶ παροξυσμοῦ.

110 Ὅ,τι αἰτία τῶν παροξυσμῶν.—Περὶ ῥίγους.—Ἄλλως.

110β Ἐκ τῶν ἀφορισμῶν.—Ἑρμηνεία.

111 Ἀμφημερινοῦ πυρετοῦ διάγνωσις.

111β Θεραπεία.

112 Ἄλλως.—Περὶ τριταίου.—Διάγνωσις τούτου.

112β Θεραπεία Ἀ λ ε ξ ά ν δ ρ ο υ.

113 Γαληνοῦ, χολαίνη (sic).—ἔτι περὶ τριταίου.

113β ἄλλως. θεραπεία τριταίου.

114 Περὶ διπλοῦ τριταίου.

114β Περὶ τεταρταίου.—Ἄλλως.—Ἐκ τῶν ἀφορισμῶν.

115 Σχόλαιον περὶ διαφορᾶς πυρετῶν.—Γαληνοῦ.—Παύλου.

115β Ἄλλο Ἀλεξάνδρου.

116β Περὶ ἡμιτριταίου.—Ἄλλως.—Ἄλλως : «Ὁ ἡμιτριταῖος πυρετὸς σύνθετός ἐστιν ἔκ τε τριταίου διαλείποντος καὶ συνεχοῦς ἀμφημερινοῦ, συνιστάμενος ἐπὶ χολῇ καὶ φλέγματι σηπομένῳ. Καὶ δεῖ ἐπὶ τούτων καὶ τὴν θεραπείαν σύνθετον εἶναι. Καὶ εἰ μὲν ἐπικρατέστερον εἶ τὸ φλέγμα, τοῖς ἐπὶ ἀμφημερινοῦ λεγομένου χρήσομαι τοῖς βοηθήμασι. εἰ δὲ ξανθὴ χολὴ τοῖς ἐπὶ τριταίου, καθ' ὃ πρὸς τὸ κατεπεῖγον ἐνιστάμενοι».—Σχόλαιον περὶ διαφορᾶς πυρετῶν.—Εἰς πόσα διαιροῦνται τὰ νοσήματα.

119β Πῶς τὸ αἷμα μεταβάλλεται.—Πῶς τὸ πύον γίνεται λευκόν, τῆς σαρκὸς ἐρυθρᾶς οὔσης. Ποῖα κοινὰ πάθη τῶν ἐντέρων καὶ ποῖα ἴδια.—Εἰ ἡ νόσος διάθεσις προσαγορεύεται ἢ πάθος.

120 Περὶ ἐφημέρων πυρετῶν ἢ πολυημέρων.—Ποῖαι αἱ διαφοραὶ τῶν ἐφημέρων πυρετῶν.

120β Περὶ ἑκτικῶν.

121 Ἔτι περὶ ἑκτικῶν.—Περὶ τοῦ γυναίου : «οὕτως οὖν ἔναγχος γυναίῳ ἑκτικῷ ἅμα ἐπὶ σήψει πυρετῷ περιπέπτωκε καὶ τοῦτο οἱ ἰατροὶ οὐκ ἠδυνήθησαν γνῶναι· ἔλαβον δὲ καὶ ἔθρεψα μετὰ τὸν παροξυσμόν· καὶ ἐντεῦθεν διέγνων ὅτι ἑκτικός ἐστιν συμπλακεὶς τῶν ἐπὶ σήψει...».

121β Καὶ τί ἐστι μαρασμὸς καὶ διὰ πόσας αἰτίας γίνεται.—Καὶ ποίῳ λόγῳ ταῦτα τὰ αἴτια ἀνάπτουσι πυρετούς.

122 Περὶ συνεχοῦς πυρετοῦ καὶ συνόχου.

122β Ἀετίου, Περὶ συνεχοῦς.—Γαληνοῦ, Περὶ συνόχου

123 Ὁρῶμεν ὅτι ἐν ταῖς εἰσβολαῖς τοῦ πυρετοῦ ὑπνώδεις τινὲς γίνονται καὶ καμώδεις καὶ κωματώδεις. Τίς ἡ αἰτία.

123β Πῶς ἐπιμελητέον γλώσσης τραχύτητα.

124 Περὶ ὑδερικῶν.

124β Ἄλλως.

125 Ἐκ τῶν ἀφορισμῶν «Τοῖσι ὑδρωπικοῖσι βὴξ ἐπιγενόμενος, κακόν».—Θεραπεία.

125β Ἄλλο, ἄλλο, ἄλλο, ἄλλο.—Ἀλοιφή.—Περὶ αἰδοίων : «Εἰ δὲ τὰ αἰδοῖά εἰσιν ἐξογγούμενα, κοπάνισον σταφίδας...». Ἄλλο ἄλλο.

126β Κοκκία ὑδερικά.—Ἄλλως, ἄλλως.—Σημεῖα δυσουρίας.

127 Τί ἐστι λιθίασις. «Ἡ δι' ἀσθένειαν τῆς ἀποκριτικῆς δυνάμεως ἢ διὰ στένωσιν τοῦ πόρου τῆς κύστεως, ἥτις γίνεται διχῶς ἢ διὰ λύσιν ἢ δι' ἔμφραξιν...»—Θεραπεία.

127β Θεραπεία πρὸς λιθιῶντα.—Περὶ τετάνου καὶ σπασμοῦ.

128 Γαληνοῦ.—Ἐκ τῶν ἀφορισμῶν.—Θεραπεία.

128β Πυρία.—ὅρος. Τί ἐστι συνάγχη.

129 Θεραπεία.

129β Περὶ ἀρθριτικῶν. Τί ἐστι ἀρθρῖτις. «Ἀρθρῖτίς ἐστι φλεγμονή, συνισταμένη περὶ τὰ ἄρθρα ἔμμονον πόνον ἰσχυρὸν ἐπιφέρουσα...».—Τί ἐστι ποδάγρα.—ἐκ τῶν ἀφορισμῶν: «Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμαίνοντα ἐν 40 ἡμέρησιν ἀποκαθίστανται».—Τί ἐστι παράλυσις.

130 Θεραπεία πρὸς φλεγμονήν.

130β Ἄλλο.—Εἰς ἀποκοπὴν φωνῆς: «Εἰ μὲν ἀπὸ ἐκκαύσεως ἢ κραυγῆς ἀπεκόπη ἡ φωνή, ἠρεμία καὶ ὑποσυστολὴ καὶ ἐμβροχαὶ τῆς κεφαλῆς συμφέρουσιν· ἢ ῥοφήματα ἢ ἀναγαργαρισμοὶ καὶ λουτρὰ συνεχῆ, τραγακάνθης τε κατοχὴ ἐν τῷ στόματι καὶ λιβάνου ὑπὸ τὴν γλῶσσαν. καὶ χυλὸς γλυκυρρίζης καὶ αἱ ἀναγεγραμμέναι περὶ αὐτοῦ ἀρτηριακαί. Εἰ δὲ ἄνευ προδήλου προφάσεως ἡ φωνὴ ἀπεκόπη, ὀσφραντὰ προσφερέσθωσαν εὔοσμα· ἐὰν δὲ εἴη μεγάλων ὀργάνων, καὶ σπόγγος ἐξ οἴνου ἢ ὄξους τὸ πρόσωπον ἀποσπογγιζέσθω. καὶ τοῖς πταρμικοῖς χρῆσθαι, ἐμεῖν τε κελεύω καὶ φλεβοτομεῖν καὶ τροφαῖς λεπταῖς καὶ εὐαναδότοις καὶ τρίψεσι καὶ ἐν ὥραις καὶ ἐν τόποις καταφύτοις καὶ εὔπνοις».—Ἑτέρα θεραπεία.

131 Περὶ ἑλμίνθων: «Γίνονται ἕλμινθες καὶ ἐν πυρετοῖς καὶ δίχα πυρετῶν, διαφέρουσαι πλήθει καὶ μεγέθει καὶ χρόᾳ καὶ καιροῖς. Καὶ περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν νόσων γενόμεναι ἐξ ὑποκειμένων διαφθορᾶς τὴν σύστασιν ἔχουσι. αἱ δὲ περὶ τὰς ἀκμὰς ἐκ μεταβολῆς τῶν ὅλων ἐπὶ τὸ κρεῖττον, αἳ δὴ καὶ τάχιον ἀπεκκρίνονται. Αἱ δ' ἐπὶ τὴν κεφαλὴν γινόμεναι, σκοτώματα ἐπιφέρουσι».

131β «Γένη δέ εἰσιν αὐτῶν τρία...». «θεραπεία. εἰ μὲν ἀπύρετος εἴη, ἐπίθεμα ἀπὸ τῶν δι' εὐκρατομέλιτος, κρόκα ᾠῶν καὶ ἑψήματα καὶ κρίθινον ἄλευρον καὶ ἀλόην κατὰ χολῆς ταυρείας· πινέτωσαν δὲ καὶ τοῦ ἀβροτόνου τὸ ἀφέψημα καὶ τοῦ ἀψινθίου, ἀριστολοχίας καὶ κενταυρίου μετὰ κριθαλεύρου κατάπλασμα. Εἰ δ' ἐν πυρετοῖς εἶεν, εἰς μὲν τὸ σπλάγχνον πρόσταξε τὰ χαλαστικά, προσπλέκων αὐτοῖς τὸ ἡδύοσμον καὶ τὸ ἄνισον καὶ τὸ ἀγνόκοκκον καὶ τὴν ἀλόην καὶ χολὴν τὴν ταυρείαν. βοηθήματα δὲ πρόσταξον τὸν χυλὸν τοῦ ἠρογέροντος μετὰ οἴνου καὶ κωναρίου καὶ ῥοδίνου ἐλαίου καὶ ἁγιάσματος τῶν ἁγίων Θεοφανείων καὶ ὑδροροσάτου».

132 Περὶ γυναικὸς ἐμμήνων.—θεραπεία.—ἄλλο. ἄλλο. ἄλλο. ἄλλο.—Παύλου.

132β Περὶ ἀρτηριακῶν.—θεραπεία. ἄλλο. ἄλλο.

133 ἄλλο.—θεραπεία.

133β Ἐκ τοῦ δυναμεροῦ.

134 Ἡ ρ ο δ ό τ ο υ, Περὶ τρόμων ἐν πυρετοῖς.

134β Παύλου, τρόμων σημεῖα.

135 Περὶ καταφορᾶς.

135β Περὶ συντήξεως.

136 Θεραπεία.—ὅροι.—«Χολέρα ἐστὶ πάθος κάτοξυ, χαλεπόν· ἡ γὰρ αὐτίκα τὸν ἄνθρωπον εἰς κατάρρουν ἀπήνεγκε διὰ ἐμέτου ἢ ἐκ διαρροίας καὶ πολλῆς ἐκκρίσεως εἰς στροφὰς καὶ μικρὸν ὑγρὸν ἐν πυρε-

136β τοῖς ἐπέστησεν | δυσεντερώδεις καὶ κακοήθεις καὶ κατὰ τοὺς μαρασμούς».—Ἄλλως. Θεραπεία. Σημεῖα τῶν μελαγχολικῶν.

137 Θεραπεία. Θεραπεία.—Περὶ ἐφιάλτου.

137β Περὶ λυγμοῦ.—ἄλλως.

138 Θεραπεία. ἄλλως.—Περὶ ἀποστήματος.

138β Σηπτικόν.—Περὶ ὑδροφόβου. «Τὸ ὑδροφοβικὸν πάθος ἐστὶν ὡς ἐπὶ τὸ πλεῖστον γινόμενον ὑπὸ λυσσώντων κυνῶν καὶ ἑτέρων θηρίων δήγματος· παρέπεται δὲ αὐτοῖς, λυγμὸς καὶ φόβος τοῦ πινομένου παντὸς ὕδατος, συνέλκονται δὲ καὶ σπῶνται καὶ δάκνουσιν αὐτούς, ἐνίοτε δὲ καὶ συριῶσιν οἱ λυσσῶντες ὡς κύνες ἢ ὥσπερ λύκοι φθέγγονται καὶ ὑλακτῶσι καὶ τελευταῖον ὑπὸ τῶν σπασμῶν καὶ διὰ πότου ἀπόλλυνται».—θεραπεία.

139 Ἄλλο.—Περὶ κλυσμῶν.

140 Περὶ διαχωρημάτων.

142 Περὶ ἄρτου.

142β Παύλου, περὶ οἴνου δυνάμεως.

143 Ἐκ τῶν ἀφορισμῶν: «Ἢν μεθύων τις ἐξαίφνης ἄφωνος γένηται, κακόν»,—Περὶ τροφῆς. Ἐν ποίοις αὕτη μορίοις χυλοποιεῖται καὶ ποῦ ἡ πέψις γίνεται.—Ἔτι περὶ πέψεως.

143β Περὶ σιτίων.—Περὶ ἀπεψίας.—Περὶ πέψεως.

143 (sic) Περὶ οἴνου.—Περὶ ὕδατος.—Περὶ λουτρῶν καὶ καθάρσεως. Πόθεν τὰ πληθωρικὰ νοσήματα γίνονται.—Περὶ ὄγκων: «ὅτι ὄγκοι δ'. ἐξ αἵματος, φλεγμονή, ἐκ φλέγματος οἴδημα, ἐκ μελαίνης σκίρρος. Πάθη δὲ μελαίνης χολῆς, καρκίνος, ἐλέφας, ψώρα, λέπρα, πυρετὸς τεταρταῖος, ὁμοίως ἡ ὀνομαζομένη μελαγχολία».

143β Περὶ ἀψινθίου, περὶ καππάρεως. Ὁ ὑγρὸς διοσπολίτης.

144 Τί διαφέρει ἴαμα βοηθήματος.—Διατί ἐν τῇ νυκτὶ ἡ δυσφορία γίνεται.—Περὶ σημείων νοσημάτων.—Περὶ πόνων.—Ἐκ τῶν ἀφορισμῶν «Δύο πόνων ἅμα γιγνομένων, μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρὸς ἀμαυροῖ τὸν ἐλάσσονα».—Τί ἐστι κρίσις.—Τί ἐστι νόσος.—Τί ἐστι ὕπνος.

144β Τίς ἡ ποιητικὴ αἰτία τοῦ ὕπνου.—Περὶ φλεβοτομίας. Περὶ φλεβο τομίας ἐπὶ συνόχου.

145 Πότε κριτέον φλεβοτομίαν.—Πόθεν αἱ φλεβοτομίαι πεφύκασιν. «λέγομεν ὅτι ἀπὸ τοῦ ἥπατος, ὥσπερ ἀπὸ βλαστήματος τούτου εἰσίν».—Τί ἐστι φλέψ.

145β Περὶ αἵματος.—Περὶ ἀνθρώπου καὶ τί ἐστι ἄνθρωπος.

146 Περὶ ὀλισθήματος.

146β Περὶ ἐξαρθρώματος.—Περὶ διαφορᾶς νοσημάτων.—Τί ἐστι κάτοξυ Τί ἐστι κακόηθες.

147 Τί ἐστι χρόνια νοσήματα.—Τί ἐστι μέσον νόσημα.—Τί ἐστι ὀλέθριον.—Τί ἐστι πυρεκτικά.—Τί ἐστι κινδυνῶδες.—Τί ἐστιν ἀκίνδυνον.—Τί ἐστι γαστήρ.—«Τί γάρ ἐστι σῶμα κοῖλον, ἔχον ἐν ἑαυτῷ δυνάμεις φυσικὰς δ'., ἑλκτικήν, καθελκτικήν, ἀλλοιωτικὴν καὶ ἐκκριτικήν».

147β Τί ἐστι νόσημα.—Τί ἐστι νεῦρον.—Τί ἐστι χιτών: «χιτών ἐστι ὑμὴν νευρώδης, περιειληφὼς πᾶν τὸ κρανίον».

148 Τί ἐστι ὀστοῦν. Τί ἐστι δηλητήριον: «δηλητήριόν ἐστι ξίφος ἀηδές, προσπῖπτον τῇ φύσει».—Τί ἐστι πιμελή.—Τί ἐστι σάρξ.—Τί ἐστιχόνδρος.—Τίνα τὰ τηλέφια: «Ἕλλην τις ἀρχαῖος ἦν Τήλεφος ὀνομα-
148β ζόμενος, ὃς ἔσχεν ἕλκος δυσίατον καὶ ὡς ἐκ τούτου ὠνομάσθησαν τὰ

τηλέφια».—Τίνα τὰ χειρώνια: «ὁ τοῦ Ἀχιλλέως διδάσκαλος Χείρων τὰ κακοήθη ἕλκη ἰάτρευεν, ἥν τινα θεραπείαν οἱ ἰατροὶ χειρωνείαν ἐκάλεσαν».— Περὶ ψιλώσεως.— Περὶ διαχωρημάτων.— Περὶ πύου.— Περὶ ἱδρώτων.

149 Γαληνοῦ. «Γαληνὸς λέγει ὅτι πᾶν τὸ δεόμενον ἰάσεως, ἠρεμίας δέεται· ἡ γὰρ κίνησις σύρροιαν ποιεῖ τῶν χυμῶν τῶν περιττῶν, οὗτοι δὲ φλεγμονήν».—Ἐκ τῶν ἀφορισμῶν: «πολεμικώταται γὰρ αἱ πολυποσίαι τοῖς τῆς γαστρὸς ῥευματισμοῖς». «οὐδὲν γὰρ τῶν γιγνομένων ἄνευ αἰτίας συνίσταται. πᾶν γὰρ τὸ γινόμενον αἰτίαν ἔχει τὴν πρόφασιν». «Πᾶν τὸ περιττὸν τῇ φύσει πολέμιον· οὐδὲν ἄμετρον ἐπαινετόν».—Τοῦ Ἁγ. Ἀθανασίου «Πᾶσα γὰρ ἀμετρία, αἰτία νοσημάτων καθίσταται»[1].

---

As it is the case with all the works of that period and consequently this of Theophilos, they are all a simple compilation from greek sources. The passages quoted are given either in their original form, or sometimes lightly modified. But the arrangement of the text is done so carelessly, that one can only conclude that the author had collected the text to form a basis for another more systematic work, similar perhaps to those, we encounter in his time or still earlier on (Paulus Nicaeus, Leo iatrosophist, Theophanes Nonnos etc.).

From the point of view of appreciating the author's personality and the time when he lived, it is very important to note, that he mentions Paul of Aegina, Stephen of Athens, his own Theophilos Protospatharios pupil, and Romanos.

The fact that he made use of the books of the xenon of a monastery and that a christian tone permeats his treatise, although this was not uncommon among the byzantine authors, makes one suppose that the author might have been a Monk.

Concluding I should like to add that the codex, in which this work is found, is also diversely interesting, for it contains several other medical treatises on different subjects as well. I intend to refer to them in the future, when I hope with a return of peace we shall regain our freedom and our own state of moral and mental tranquillity.

---

## ΑΝΑΚΟΙΝΩΣΕΙΣ ΜΗ ΜΕΛΩΝ

***Αγγ. Καλογερᾶ.***— Περὶ τοῦ ἐργασίμου τῶν σκυροκονιαμάτων *.

---

[1] On the whole principal chapters 169.

* Θὰ δημοσιευθῇ εἰς τὴν σειρὰν τῶν πραγματειῶν.